# ΟΚΤΩΒΡΙΟΣ 24!! ΑΓΙΑ ΜΑΡΤΥΣ ΣΕΒΑΣΤΙΑΝΗ ΑΚΟΛΟΥΘΙΑ

## ΟΚΤΩΒΡΙΟΣ ΚΔ΄!!
## ΣΕΒΑΣΤΙΑΝΗ ΜΑΡΤΥΣ
## ΑΚΟΛΟΥΘΙΑ

***(Νικοδήμου Ἀεράκη ἀρχιμανδρίτου)***

### ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Παρθενομάρτυρα θείαν δεῦτε τιμήσωμεν, ἐν λόγοις πανευφήμοις, καὶ ᾠδαῖς θειοτάταις· ἔρωτι γὰρ θείῳ πᾶσαν πνοήν, τῷ Θεῷ ἀφιέρωσεν, ὁμολογοῦσα Χριστὸν Σεβαστιανή, ὡς Θεὸν ἐνανθρωπήσαντα.

Τὴν σεβαστῶς σεβομένην Θεὸν σεβάσμιον, ἐν ὕμνοις εὐφημοῦμεν, φιλαγίων χορεία· χάριτι γὰρ Λόγου λόγοις θερμοῖς, τὰς παρθένους ἐστήριζε, καὶ αἰκισμοὺς ὑποστᾶσα περιχαρῶς, ἀνεδείχθης Μάρτυς ἔνδοξος.

Περιχαρῶς ἡ παρθένος πρὸς τὸ μαρτύριον, ἔσπευδεν ὑπὲρ Λόγου, τὴν ζωὴν αὐτῆς θῦσαι, ἵνα Πρωτοτόκοις ἐν οὐρανοῖς, ἐς ἀεὶ συναγάλληται, καὶ τῷ ἀκτίστῳ φωτὶ Σεβαστιανή, αἰωνίως καταυγάζηται.

Δεῦτε φιλέορτοι ὕμνοις ἀνευφημήσωμεν, Χριστοῦ τὸ θεῖον θῦμα, τῶν παρθένων προστάτιν, πάντων τῶν Μαρτύρων ὑπογραμμόν, Ἐκκλησίας ἀγλάϊσμα, τῶν ἀθλουμένων δὲ φῶς Σεβαστιανήν, καὶ πιστῶν τὸ ἐγκαλλώπισμα.

*Δόξα. Ἦχος β΄.*

Δεῦτε τῶν πιστῶν ὁ σύλλογος, τὴν τοῦ Κυρίου Μάρτυρα, Σεβαστιανὴν τὴν πανένδοξον, ἐν ψαλμοῖς καὶ ὕμνοις, ἐπαξίως τιμήσωμεν. Αὕτη γὰρ τὰ τοῦ πλάνου ἔνεδρα, τῇ τοῦ Παρακλήτου δυνάμει, μαρτυρικῶς κατεπάτησε, καὶ ἐπαξίως παρὰ Χριστοῦ, ἐν οὐρανοῖς ἐστέφθη, συνεορτάζουσα τοῖς Πρωτοτόκοις Μάρτυσιν, εἰς τοὺς αἰῶνας.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Τὴν Σεβαστιανήν, τιμήσωμεν ἐν ὕμνοις, καὶ ἐν ᾠδαῖς εὐφήμοις, ὡς Μάρτυρα Κυρίου, ἐξ οὗ τὸ στέφος εἴληφε.

Στ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Ἡ Σεβαστιανή, τὸ κλέος τῶν παρθένων, καὶ τῶν Μαρτύρων γέρας, εἰσῆλθε πανενδόξως, ὡς Μάρτυς εἰς τὰ Ἅγια.

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Ὢ Σεβαστιανή, ἱκέτευε ἀπαύστως, Θεοῦ Πατρὸς τὸν Λόγον, ὑπὲρ τῶν σὲ τιμώντων, καὶ πίστει ἀνυμνούντων σε.

*Δόξα. Τριαδικόν.*

Λόγον σὺν τῷ Πατρί, καὶ Πνεύματι Ἁγίῳ, κηρύττομεν ἐμφρόνως, Τριάδα ἐν Μονάδι, Θεότητα τρισήλιον.

*Καὶ νῦν. Θεοτοκίον.*

Δεῦτε οἱ γηγενεῖς, τιμήσωμεν Παρθένον, μητέρα γεγονυῖαν, καὶ μείνασαν Παρθένον, μυστήριον παράδοξον.

***Νῦν ἀπολύεις. Τρισάγιον.***

*Ἀπολυτίκιον. Ἦχος γ΄. Θείας πίστεως.*

Πέλεις πρότυπον, ὁμολογίας, καὶ διδάσκαλος, τῆς παρθενίας, βιαστῶν δὲ ἀκροθίνιον πάντιμε, καταβαλοῦσα εἰδώλων δυσσέβειαν, καὶ τυραννούντων ἀντίχριστον φρύαγμα· ὅθεν ἅπαντες, Σεβαστιανὴ ἔνδοξε, τιμῶμέν σου λαμπρῶς τὴν θείαν ἄθλησιν.

*Δόξα... Καὶ νῦν... Θεοτοκίον*

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

*Ἀπόλυσις.*

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ*. Εἰς δὲ τό· *Κύριε ἐκέκραξα*, ἱστῶμεν στίχους στ’, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια, δευτεροῦντες αὐτά. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ὡς παρθένον καὶ Μάρτυρα, εὐσεβείας ἀγλάϊσμα, συνελθόντες σήμερον εὐφημοῦμέν σε· ὅτι βελίαρ ἐνίκησας, τὴν πίστιν τρανώσασα, πρὸ τυράννων δυσσεβῶν, καὶ ἐδέξω τὸν στέφανον, τὸν ἀμάραντον, ἐκ χειρὸς τοῦ Νυμφίου σου ὡς Μάρτυς, εἰσελθοῦσε εἰς παστάδα, τὴν πανευφρόσυνον ἔνδοξε.

Τῶν παρθένων διδάσκαλον, τῶν Μαρτύρων προπύργιον, Ἀθλητῶν ἑδραίωμα ἀνυμνήσωμεν, θεοσεβείας ἐπώνυμον, Χριστοῦ ἀφομοίωμα, Ἀθλητῶν ὑπογραμμόν, βιαστῶν τὸ ἐκτύπωμα, καὶ τὸ καύχημα, παραδείσου τὸ ἄνθος τὸ εὐῶδες, τὴν μαθήτριαν τοῦ Παύλου, μεθ’ οὗ ἀπαύστως ἀγάλλεται.

Δυσσεβῶν κατενίκησας, ἀθεότητος φρύαγμα, καὶ πυρὸς ἀπέδειξας τὴν ἀσθένειαν, τὴν τῶν θηρῶν ἀγριότητα, ἡμέρωσας πάντιμε, καὶ ἐδέξω ἐκ Θεοῦ, παρακλήσεως δώρημα, ἐν εἱρκτῇ σεπτῇ, διὰ Παύλου τοῦ θείου καὶ Ἀγγέλου, καὶ σημείων θειοτάτων, δι’ ὧν πεπτώκασιν εἴδωλα.

*Δόξα. Ἦχος πλ. β΄.*

Σήμερον ὁ θεόλεκτος λαός, εὐαγγελικῶς συναθροισθείς, ἐπὶ τῇ μνήμῃ τῆς καλλινίκου Μάρτυρος Σεβαστιανῆς, ἐν θαυμασμῷ καὶ χαρᾷ, τοὺς ἄθλους αὐτῆς ἐμμελετῶν, μεγάλῃ τῇ φωνῇ βοᾷ πρὸς αὐτήν· χαίροις, τοῦ θείου Παύλου τέκνον πνευματικόν, καὶ τῆς μαρτυρικῆς αὐτοῦ ζωῆς ἀληθὲς ἀντίτυπον· χαίροις, τῶν πρωτομαρτύρων ἐφάμιλλε, καὶ τῶν ὁμολογητῶν τῆς πίστεως πρότυπον πανάριστον· χαίροις, τῶν βιαστῶν τὸ ἔδρασμα, καὶ τῶν διδασκάλων τὸ ὑπόδειγμα. Ὡς θριαμβεύουσα ἐν οὐρανοῖς, ἐκτενῶς ἱκέτευε τῷ Σωτῆρι καὶ Θεῷ, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

***Εἴσοδος. Φῶς Ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.***

*Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (Κεφ. ΜΓ΄ 9-14)*

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ᾽ ἀρχῆς καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. γ' 1)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν

καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. (Κεφ. ζ΄.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α΄.*

Λαμπρὰν ἑορτήν, καὶ φαιδρὰν πανήγυριν, ἡ στρατευομένη Ἐκκλησία, ἐπὶ τῇ μνήμῃ τῆς πανενδόξου Μάρτυρος Σεβαστιανῆς, τῆς σαββατιζούσης ἐν τῇ θριαμβεούσῃ ἐν οὐρανοῖς Ἐκκλησίᾳ, πανευλαβῶς ἐπιτελεῖ. Αὕτη γὰρ περιχαρῶς, τὸν σταυρὸν τοῦ μαρτυρίου ἀναλαβοῦσα, ὑπὲρ τοῦ ἑαυτῆς Νυμφίου Χριστοῦ, τὴν κεφαλὴν ἀπετμήθη· ὅθεν, τὸν δρόμον τελέσασα, καὶ τὴν πίστιν τηρήσασα, τὸν τῆς δικαιοσύνης στέφανον εἴληφε, παρὰ τοῦ ἀθλοθέτου Χριστοῦ, καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

*Ἦχος β΄.*

Δεῦτε φιλομάρτυρες πάντες, καὶ τῆς ἀρετῆς ἐρασταί, δεῦτε τὴν πανσεβάσμιον Σεβαστιανήν, ὕμνοις καταστέψωμεν. Αὕτη γάρ, ὡς ὁ διδάσκαλος αὐτῆς, Παῦλος ὁ οὐρανοβάμων, τοῦ ἐσφαγμένου Ἀρνίου μανικῶς ἐρασθεῖσα, τῶν τοῦ κόσμου ὡς μὴ ὄντων

κατεφρόνησε, καὶ τὴν ἑαυτῆς ψυχήν, ὁλοθύμως ὑπὲρ Χριστοῦ ἔθυσεν· δι' ὁμολογίας δὲ στεῤῥᾶς καὶ ποικίλων θαυμάτων, ἐν δεινοῖς αἰκισμοῖς τὸν τύραννον κατήσχυνεν· ὅθεν ἐν λευκοῖς εἰς τὴν οὐράνιον παστάδα, αἰωνίως σὺν τοῖς Πρωτοτόκοις Μάρτυσιν ἀγάλλεται, πρεσβεύουσα ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος γ΄.*

Σεβαστιανὴν τὴν σεβαστήν, σεβασμίως ἐν ᾠδαῖς ἐγκωμίων ἐπευφημήσωμεν· τῷ γὰρ διδασκάλῳ αὐτῆς, Παύλῳ τῷ τοῦ Κυρίου στόματι, εὐπειθῶς ὡς ἀληθὴς αὐτοῦ μαθήτρια, τῇ μαρτυρικῇ ὁμολογίᾳ κατηκολούθησε· πῦρ βρόμιον καὶ θηρῶν μανίαν, τῇ τοῦ Παρακλήτου χάριτι, θαυμαστῶς κατενίκησεν· ὅθεν, ἐν οὐρανοῖς κάτωθεν τοῦ θυσιαστηρίου, μετὰ τῶν ψυχῶν τῶν ἐσφαγμένων, διὰ τὸν λόγον τοῦ Θεοῦ, καὶ διὰ τὴν μαρτυρίαν τοῦ Ἀρνίου ἀναπαύεται, καθικετεύουσα τὸν Κύριον, ὑπὲρ πάντων τῶν τιμώντων τὴν μνήμην αὐτῆς.

*Ἦχος δ΄.*

Ἡ θεοδόξαστος Μάρτυς Σεβαστιανή, λευκοφοροῦσα ἐν οὐρανοῖς, τῆς τοῦ Πνεύματος ἐντολῆς ἤκουσε, καθ' ἣν ἐῤῥέθη τοῖς Μάρτυσιν, ἵνα ἀναπαύσωνται ἔτι χρόνον μικρόν, ἕως πληρώσωσι καὶ οἱ σύνδουλοι αὐτῶν, καὶ οἱ ἀδελφοὶ αὐτῶν, οἱ μέλλοντες ἀποκτέννεσθαι, ὡς καὶ αὐτοί. Ὄντως μακαρία ἡ τῆς ἀληθείας Μάρτυς, ἡ ἐν ὀλίγοις πιστὴ φανεῖσα, τοιαῦτα δὲ ἐν τοῖς θείοις δώμασιν ἀπολαμβάνουσα. Αὐτῆς ἀξίωσον καὶ ἡμᾶς, ὁ τῶν Μαρτύρων ἀθλοθέτης Κύριος, τῆς ἐν τοῖς κόλποις τοῦ Ἀβραάμ, ποθητῆς ἀναπαύσεως.

*Δόξα. Ἦχος πλ. α΄.*

Δεῦτε χριστοφόροι λαοί, ἐν κατανύξει ἀκουτισθῶμεν, τί περὶ τῆς πανευκλεοῦς Μάρτυρος Σεβαστιανῆς, καὶ πάντων τῶν Μαρτύρων, εἷς τῶν εἰκοσιτεσσάρων πρεσβυτέρων λέγει· οὗτοί εἰσιν οἱ ἐρχόμενοι ἐκ τῆς θλίψεως τῆς μεγάλης, καὶ ἔπλυναν τὰς στολὰς αὐτῶν, καὶ ἐλεύκαναν αὐτάς, ἐν τῷ αἵματι τοῦ Ἀρνίου. Διὰ τοῦτό εἰσιν ἐνώπιον τοῦ θρόνου τοῦ Θεοῦ, καὶ λατρεύουσιν Αὐτῷ

ἡμέρας καὶ νυκτός, ἐν τῷ ναῷ Αὐτοῦ. Τοιαύτης χάριτος, τῷ τοῦ παντάνακτος ἐλέει, καὶ ἡμεῖς ἀξιωθείημεν.

*Καὶ νῦν. Θεοτοκίον*

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε, δι' ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Είς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις, διδασκαλίας Χριστοῦ, εὐλογημένον καὶ πανθαύμαστον ὄργανον, ὑπόδειγμα τῶν παρθένων, κλεινὴ Σεβαστιανή, καὶ Μαρτύρων μέγα ἐγκαλλώπισμα· Χριστὸν γὰρ ἠγάπησας, καὶ τὴν πίστιν ἐτράνωσας, σεπτῶς τυθεῖσα, ὥσπερ σφάγιον ἔντιμον, ἐκνικήσασα, τῶν τυράννων φρυάγματα· ὅθεν εἰς τὰ οὐράνια, εἰσῆλθες σκηνώματα, δόξαν λαβοῦσα ἁγίας, καὶ παῤῥησίαν πρὸς Κύριον, πρεσβεύειν ἀπαύστως, ὑπὲρ πάντων τῶν τιμώντων, τὰ σὰ θαυμάσια.

Στ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Χαίροις, τοῦ θείου Παύλου καρπός, διδασκαλίας ἀληθοῦς θεῖον ὄργανον, Μαρτύρων Χριστοῦ ἡ δόξα, κλεινὴ Σεβαστιανή, τῶν παρθένων μήτηρ καὶ ἀγλάϊσμα, σαρκὸς γὰρ ἐνίκησας, τὴν ἀσθένειαν πάντιμε, ὁμολογίᾳ, εὐθαρσεῖ κατενώπιον, τῶν τυράννων τε, καὶ τιμώντων τὰ εἴδωλα· ὅθεν τὴν σὴν πανεύφημον, τιμῶντες πανήγυριν, χάριν Χριστοῦ ἐκζητοῦμεν, ταῖς σαῖς πρεσβείαις πανθαύμαστε, μιμεῖσθαι σὴν πίστιν, καὶ καλὴν ὁμολογίαν, καὶ βίον ἄμεμπτον.

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Χαίροις, ἐν αἰκισμοῖς θαυμαστή, ἐν μαρτυρίοις καρτερίας ὑπόδειγμα, σταυρὸν γὰρ ἐπ’ ὤμων ἦρες, φαιδρῶς Σεβαστιανή, καὶ Θεὸν τὸν Λόγον ἀνεκήρυξας, πυρὸς κατεπάτησας, τὴν πανώλεθρον δύναμιν, τῶν δὲ λεόντων, αἱμοβόρον ἐπίθεσιν, καὶ

δυσσέβειαν, τῶν τυράννων καὶ ἄννοιαν· ὅθεν ἐν ἐγκωμίοις τε, καὶ ὕμνοις πανεύφημε, ἄθλους τοὺς σοὺς ἐπαινοῦμεν, καὶ τὰς λιτάς σου πρὸς Κύριον, αἰτούμεθα Μῆτερ, ἵνα λάβωμεν πλουσίως, τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος πλ. β΄.*

Σήμερον, ἡ τοῦ Χριστοῦ Ἐκκλησία, εἰς πανήγυριν πνευματικήν, τῶν φιλομαρτύρων τὸν δῆμον συγκαλεῖ. Πρόκειται πᾶσιν ἡμῖν, ἡ τῆς καλλινίκου Μάρτυρος Σεβαστιανῆς ἑορτή, καὶ ἐν πίνακι ἱερῷ ἡ πληθὺς τῶν αὐτῆς ἀρετῶν καὶ ἀθλημάτων. Δεῦτε οὖν καὶ ἡμεῖς ἐν ὕμνοις καὶ ἐγκωμίοις, καὶ βίᾳ ὄντως θεοπροσδέκτῳ, αὐτὴν τιμήσωμεν. Τιμὴ γὰρ Μάρτυρος, μίμησις Μάρτυρος, ὥς φησιν ὁ Χρυσοῤῥήμων. Αὐτῆς πρεσβείαις, σῶσον Κύριε τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

***Νῦν ἀπολύεις. Τρισάγιον.***

*Ἀπολυτίκιον. Ἦχος γ΄. Θείας πίστεως.*

Πέλεις πρότυπον, ὁμολογίας, καὶ διδάσκαλος, τῆς παρθενίας, βιαστῶν δὲ ἀκροθίνιον πάντιμε, καταβαλοῦσα εἰδώλων δυσσέβειαν, καὶ τυραννούντων ἀντίχριστον φρύαγμα· ὅθεν ἅπαντες, Σεβαστιανὴ ἔνδοξε, τιμῶμέν σου λαμπρῶς τὴν θείαν ἄθλησιν.

*Δόξα... Καὶ νῦν... Θεοτοκίον*

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

***Ἀπόλυσις.***

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α’ Στιχολογίαν, Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Τὴν καθαρότητα, τῆς πολιτείας σου, καὶ τὴν ταπείνωσιν, τοῦ σοῦ φρονήματος, ὁ ἀθλοθέτης Ἰησοῦς, ἐτίμησεν ἐπαξίως· ὅθεν ὡς καλλίνικον, μαρτυρίου τὸ ἔπαθλον, καὶ ζωῆς ἀπόλαυσιν, ἐδωρήσατο κρείττονος· διὸ ἐν ἐγκωμίοις βοῶμεν· χαῖρε Χριστοῦ νύμφη Ἁγία.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον*

Τὸν ἀκατάληπτον, καὶ ἀπερίγραπτον, τὸν ὁμοούσιον, Πατρὶ καὶ Πνεύματι, ἐν τῇ γαστρί σου μυστικῶς ἐχώρησας Θεομῆτορ, μίαν καὶ ἀσύγχυτον, τῆς Τριάδος ἐνέργειαν, ἔγνωμεν τῷ Τόκῳ σου, ἐν τῷ κόσμῳ δοξάζεσθαι· διὸ καὶ εὐχαρίστως βοῶμέν σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

*Μετὰ τὴν β’ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Τὴν Μάρτυρα Χριστοῦ, εὐφημήσωμεν ὕμνοις, καὶ στέψωμεν λαμπρῶς, ἐν ᾠδαῖς ἐγκωμίων· δυσσέβειαν γὰρ ἄθεον, τῶν εἰδώλων κατήσχυνε, καὶ ὠμότητα, τὴν τοῦ πυρὸς καὶ θηρίων, κατενίκησεν, ὁμολογοῦσα ἐμφρόνως, Χριστοῦ τὴν θεότητα.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Μητέρα σε Θεοῦ, ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα· σὲ γὰρ ἔχομεν, ἁμαρτωλοὶ προστασίαν· σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην πανάμωμον.

*Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.*

Καταπλήττει ἀληθῶς, ἡ ὑπὲρ φύσιν σου ζωή, καὶ Ἀγγέλους καὶ βροτούς, ἔνδοξε Σεβαστιανή, ἐμμελετῶντας τοὺς ἄθλους τῆς βιοτῆς σου, Παύλῳ γὰρ πιστῶς ἠκολούθησας, Λόγον τοῦ Πατρός, ὡμολόγησας, καὶ μαρτυρίου στέφανον ἐδέξω, ἐν εὐφροσύνῃ κραυγάζουσα· Χριστός μου δόξα, καὶ στέφανός μου, Κύριος καὶ Θεός μου.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Κατεπλάγησαν Ἁγνή, πάντες Ἀγγέλων οἱ χοροί, τὸ Μυστήριον τῆς σῆς, κυοφορίας τὸ φρικτόν, πῶς ὁ τὰ πάντα συνέχων νεύματι μόνῳ, ἀγκάλαις ὡς βροτός, ταῖς σαῖς συνέχεται, καὶ δέχεται ἀρχὴν ὁ Προαιώνιος, καὶ γαλουχεῖται σύμπασαν ὁ τρέφων, πνοὴν ἀφάτῳ χρηστότητι, καὶ σὲ ὡς ὄντως, Θεοῦ Μητέρα, εὐφημοῦντες δοξάζουσι.

**Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α' Ἀντίφωνον τοῦ δ´ ἤχου.**

Προκείμενον: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

**Εὐαγγέλιον μαρτυρικόν.**

**Ὁ Ν' ψαλμός.**

Δόξα: *Ταῖς τῆς Ἀθληφόρου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β´. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Σήμερον ὁ νεόλεκτος λαός, ἐν ἐγκωμίοις τὴν Μάρτυρα Σεβαστιανὴν ἐπευφημεῖ, λέγων πρὸς αὐτήν· χαῖρε Παύλου τὸ καύχημα, καὶ φιλοχρίστων τὸ πρότυπον· χαῖρε, δυσσεβούντων ἀντίπαλε καὶ φιλοθέων ὁμόψυχε· χαῖρε, τοῦ πυρὸς καὶ τῶν θηρῶν κατανικήσασα, διὰ σημείων καὶ θαυμάτων τῆς χάριτος· χαῖρε, πανένδοξε νύμφη τοῦ Χριστοῦ, ἡ ἐνοικοῦσα ἐν παστάδι οὐρανίῳ. Πρέσβευε οὖν ἐκτενῶς, ὑπὲρ τῶν τιμώντων, τὴν ἀεισέβαστον μνήμην σου.

Εἶτα, οἱ Κανόνες· τῆς Θεοτόκου, καὶ τῆς Ἁγίας οὗ ἡ Ἀκροστιχίς: *Σεβαστιανήν, μέλπω ᾄσμασιν. Νικοδήμου.*

*ᾨδὴ α´. Ἦχος πλ. δ´. Ὑγρὰν διοδεύσας.*

Σοφίαν τὴν ἄνωθεν ἐκζητῶ, ὑμνῆσαι ἀξίως, τὴν σεπτὴν Σεβαστιανήν, τὴν πανθαυμαστῶς ἐν μαρτυρίῳ, καταβαλοῦσαν τυράννου ὠμότητα.

Ἐνώκησε χάρις ἐξ οὐρανοῦ, ἐν τῇ σεβασμίᾳ, καὶ κλεινῇ Σεβαστιανῇ, λαμπρῶς ἀναδείξασα ἐν πόνοις, τῶν Πρωτοτόκων ἀντίτυπον ἄριστον.

Βοήσωμεν ὕμνοις θεοπρεπῶς, ἐγκώμια θεῖα, τῇ λαμπρᾷ Σεβαστιανῇ, τὴν χάριν αὐτῆς ἐπιποθοῦντες, παρὰ Χριστοῦ τοῦ Θεοῦ λαβεῖν ἅπαντες.

*Θεοτοκίον.*

Ἁγνείας θησαύρισμα ἀληθῶς, Σὺ πέλεις Παρθένε, καὶ παρθένων καταφυγή, μητέρων δὲ στήλη σωφροσύνης, καὶ ἀρετῆς θαυμαστὸν ἀκροθίνιον.

*ᾨδὴ γ΄. Οὐρανία ςάψῖδος.*

Σωτηρίας τὸν λόγον ἱερουργεῖ ἄριστα, Σεβαστιανὴ ἡ γνησία, Παύλου μαθήτρια, καὶ ἐν ἀγάπῃ πολλῇ, νυμφαγωγεῖ τὰς παρθένους, πρὸς Νυμφίον ἄχραντον, μόνον Θεάνθρωπον.

Τῶν τυράννων τὴν πλάνην καὶ δυσσεβὲς φρόνημα, Σεβαστιανὴ ἐν δυνάμει, Λόγου κατέβαλεν, ἀποδειχθεῖσα φαιδρῶς, τοῦ μαρτυρίου ὀδύνην, καὶ θηρῶν ὠμότητα, καὶ ἀγριότητα.

Ἱκετεύει τὸν Λόγον ὑπὲρ ἡμῶν πάντοτε, Σεβαστιανὴ ἡ ἁγία, ὅπως ὡς Κύριος, καταξιώσῃ ἡμᾶς, ἐν ἀσφαλείᾳ τελείᾳ, διαπλεῦσαι ἅπαντας, βίου τὸ πέλαγος.

*Θεοτοκίον.*

Ἀειπάρθενε Κόρη Λόγον Θεοῦ τέξασα, πρέσβευε ἀπαύστως ὡς Μήτηρ, πρὸς τὸν Θεάνθρωπον, ὅπως ῥυσθῶμεν ἁγνή, ἐκ τῶν τοῦ κόσμου σκανδάλων, ἀνυμνοῦντες Δέσποινα, τὰ μεγαλεῖά Σου.

*Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Τὴν Παύλου μαθήτριαν ἐπευφημοῦμεν σεπτῶς, καὶ λόγοις κηρύττομεν, ὁμολογίαν αὐτῆς, ἐν πᾶσι τοῖς ἔθνεσιν, Μάρτυς γὰρ ἀληθείας, τοῦ Χριστοῦ ἀνεδείχθη, θαύμασιν ὑπερέβη, αἰκισμοὺς μαρτυρίου· διὸ σὺν τοῖς Πρωτοτόκοις, πᾶσιν εὐφραίνεται.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ἡ μόνη κυήσασα τὸν ποιητὴν τοῦ παντός, ἡ μόνη κοσμήσασα τὴν ἀνθρωπότητα, τῷ τόκῳ σου Ἄχραντε, ῥῦσαί με τῶν παγίδων,

τοῦ δολίου Βελίαρ, στῆσόν με ἐπὶ πέτραν, τῶν Χριστοῦ θελημάτων, αὐτὸν ἐκδυσωποῦσα ἐκτενῶς, ὃν ἐσωμάτωσας.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Νικητὴν ἀνεκήρυξας, Σεβαστιανὴ Χριστὸν ἐν τῷ πάθει σου, τοῦ σατὰν αἰτίου πτώσεων, διδασκάλου δὲ τῆς ἀθεότητος.

Ἡλιόμορφον ἔδειξας, Σεβαστιανὴν Χριστὸν τὸν Θεάνθρωπον, ἐν τοῖς λόγοις καὶ τοῖς ἄθλοις σου, καὶ σημείοις θαυμαστοῖς καὶ θαύμασιν.

Νικητήρια ᾄσματα, Σεβαστιανὴ σεπτῶς σοι προσφέρομεν, καθικέτευε τὸν Κύριον, ὑπὲρ πάντων τῶν πιστῶς τιμώντων σε.

*Θεοτοκίον.*

Μαριὰμ ταῖς πρεσβείαις Σου, χάριν τοῦ Υἱοῦ Σου ἡμῖν κατάπεμψον, ἵνα πάντες ἀποφύγωμεν, τοῦ δολίου δράκοντος τὰ ἔνεδρα.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ἔκπτωτον σατάν, ἐταπείνωσας καλλίνικε, καὶ τὰς αὐτοῦ ἐνέδρας, πανθαυμαστῶς, Χριστοῦ δυνάμει, κατέστρεψας θείοις θαύμασιν.

Λύτρωσιν ψυχῆς, ἐξαιτοῦμαι ταῖς πρεσβείαις σου, λαβεῖν ὦ Μάρτυς παρὰ τοῦ Ἰησοῦ, καὶ τὴν εἰρήνην, τοῦ πνεύματος τὴν θεόσδοτον.

Πλήρωσον ἡμᾶς, ταῖς λιταῖς σου πρὸς τὸν Κύριον, τῆς ἀληθοῦς χαρᾶς καὶ τοῦ φωτισμοῦ, τοῦ Παρακλήτου, τοῦ Παύλου πιστὴ μαθήτρια.

*Θεοτοκίον.*

Ὤφθης τὸν Χριστόν, ἐν ἀγκάλαις Σου βαστάζουσα, καὶ γαλουχοῦσα Αὐτὸν ὑπερφυῶς, τὸν τροφοδότην, τοῦ κόσμου θεοχαρίτωτε.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Ἀμάραντον, ἐκ Θεοῦ τὸν στέφανον, ἡ καλλίνικος ἐδέξατο Μάρτυς, ἐν τῇ ζωῇ, τῇ ἀγήρῳ καὶ θείᾳ, εὐφραινομένη σὺν πᾶσι τοῖς Μάρτυσιν· αὐτῆς λιταῖς πρὸς τὸν Χριστόν, οἱ βροτοὶ ἐκ φθορᾶς λυτρωθείημεν.

Στερέωσον, σαῖς πρεσβείαις πάντιμε, τὴν ἀθλίαν μου ψυχὴν καὶ καρδίαν, ὅτι δεινῶς, πολεμεῖ με ὁ πλάνος, καὶ πειρασμοῖς διαφόροις προσβάλλει με, ἐδόθη γάρ σοι ἐκ Θεοῦ, παῤῥησία πρεσβείας πανένδοξε.

Μαρτύριον, τῆς ψυχῆς κατάπαυσον, ταῖς λιταῖς σου πρὸς Θεὸν θεοφόρε, καὶ τὴν χαράν, τῆς εἰρήνης παράσχου, καὶ τὴν ἐλπίδα Θεοῦ τὴν σωτήριον, καὶ πόθον τοῦ σαββατισμοῦ, εἰς ζωὴν παραδείσου τὴν ἄληκτον.

*Θεοτοκίον.*

Ἀμίαντε, τὸν Χριστὸν ἐκύησας, ὑπὲρ φύσιν τε καὶ λόγον ὡς βρέφος, καὶ ἐν χερσί, τὸν Θεόν Σου βαστάζεις, καὶ ἐκ μαζῶν Σου Αὐτὸν γαλουχεῖς σεπτῶς· διὸ ὡς Μήτηρ τοῦ Θεοῦ, ὑπὲρ πάντων ἀεὶ καθικέτευε.

***Κοντάκιον. Ἦχος β΄. Τὰ ἄνω ζητῶν.***

Ὁρῶσα Σιών, τὴν ἄνω ἐπεπόθησας, Χριστοῦ τὸν Σταυρόν, και βίαν τὴν πανθαύμαστον· διὸ Μάρτυς γέγονας, τῶν Μαρτύρων σύσκηνος ἔνδοξε, Σεβαστιανὴ τῷ Χριστῷ, πρεσβεύουσα Μῆτερ, ὑπὲρ πάντων ἡμῶν.

***Ὁ Οἶκος.***

Ἡ τῶν Ὀρθοδόξων Ἐκκλησία, τὴν θεοσεβῆ Μάρτυρα Σεβαστιανήν, ἑορταστικῶς τιμᾷ, τὴν αὐτῆς βιοτὴν πρὸς μίμησιν προβάλλουσα. Αὕτη γὰρ Παύλου τοῦ θείου μαθήτρια γέγονε, χοροῦ δὲ γυναικῶν θαυμαστὴ διδάσκαλος. Χριστὸν μανικῶς ἀγαπήσασα, ἐνώπιον δυσσεβῶν τυράννων Τοῦτον ὡς μόνον καὶ ἀληθῆ Θεὸν ἐκήρυξεν· διὸ εἰς πῦρ καὶ θηρία ῥιφθεῖσα, χάριτι θείᾳ, ἀβλαβὴς διεφυλάχθη· ὅθεν, κατηξιώθη τοῦ μαρτυρικοῦ διὰ ξίφους τέλους καὶ τῶν ἐν οὐρανοῖς παρὰ Χριστοῦ στεφάνων, πρεσβεύουσα ἀπαύστως, ὑπὲρ πάντων ἡμῶν.

***Συναξάριον.***

***Τῇ ΚΔ΄ τοῦ αὐτοῦ Μηνός, Μνήμη τῆς Ἁγίας Μάρτυρος Σεβαστιανῆς.***

*Σεβαστιανὴ τῇ τομῇ βλύζει γάλα,*
*Οὐχ αἷμα καὶ σάρξ ὥς περ οὖσα πρὸς ξίφος.*

***Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Ἀρέθα, κα` τῶν σὺν αὐτῷ.***

*Τμηθείς, Θεῷ προσῆξε Μάρτυς Ἀρέθας,*
*πολλοὺς ὁμοίως Μάρτυρας τετμημένους.*
*Ἀρέθα εἰκάδι σὺν γνωστοῖσι τετάρτῃ τμήθης.*

**Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη μιᾶς γυναικός, καὶ τοῦ βρέφους αὐτῆς, ἣν ἰδὸν τὸ βρέφος ἐν τῷ πυρί, ἐπίῤῥιψαν ἐν τῇ φλογὶ ἑαυτό, τελειοῦται.**

*Τῇ μητρὶ πρὸς πῦρ ἡσύχως τεφρουμένῃ,*
*φωναῖς ὑποψελλίζον εἵπετο βρέφος.*

***Τῇ αὐτῇ ἡμέρᾳ, ο῾ Ἅγιοι Μάρτυρες· Μάρκος, Σωτήριχος κα` Οὐαλεντίνος, κατὰ γῆς συρόμενοι, τελειοῦνται.***

*Τὴν γῆν συνάθλων ἡ τριὰς στήλην ἔχει,*
*Βοῶσαν αὐτῶν τοὺς ἀοιδίμους πόνους.*

***Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Ἱερομάρτυς Ἀκάκιος ὁ πρεσβύτερος, ξίφει τελειοῦται.***

*Ἀκάκιος προθείς σε καὶ ψυχῆς Λόγε,*
*Ψυχὴν προέσθαι, σοῦ χάριν σπεύδει ξίφει.*

***Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Μάρτυς Νέρδων, πυρ` τελειοῦται.***

*Πυρὸς κρατῆρι καμίνῳ βεβλημένος,*
*Κρατῆρα Νέρδων ἐκροᾶα θείου τέλους.*

***Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μαγλορίου (Maglorious) τοῦ Sark Ἰρλανδίας***

***Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Σενὼχ τῆς Τουρώνης Γαλλίας.***

***Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Ἀρέθα, τοῦ ἐν τῷ Σπηλαίῳ.***
***Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.***

*Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Στεφάνῳ οὐρανίῳ καθορῶμέν σε Μάρτυς ἐν Βασιλείᾳ Θεοῦ, στεφθεῖσαν ἐπαξίως, ἐν μέσῳ τῶν Μαρτύρων, μεθ' ὧν ψάλλεις πρὸς Κύριον· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἰσχὺν ἐν μαρτυρίοις ἡ καλλίνικος σχοῦσα διὰ σημείων πολλῶν, τὴν πίστιν τῆς Τριάδος, κηρύττει καὶ διδάσκει, ὅπως ἅπαντες ψάλλωσιν· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Νικήσασα ἡ Μάρτυς αἰκισμοὺς καὶ θηρία καὶ τοῦ πυρὸς ἡ ἰσχύν, ἀνύμνει τῆς Τριάδος, τὸ ὄνομα τὸ θεῖον, ἐκβοῶσα ἐν Πνεύματι· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Ναὸς τοῦ θείου Λόγου γέγονας Παρθένε καὶ φωτοφόρος σκηνή, ἱκέτευε ἀπαύστως, ὑπὲρ τῶν Σὲ ὑμνούντων, καὶ φαιδρῶς συμψαλλόντων Σοι· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Ὠδὴ η΄. Τὸν Βασιλέα.*

Ἰχνηλατοῦσα, οὐρανοβάμονος Παύλου, τὴν πορείαν ἡ Μάρτυς ἐτύθη, τὸν Λόγον ὑμνοῦσα, εἰς πάντας τοὺς αἰῶνας.

Κατατρυφῶσα, τῶν ἀγαθῶν Βασιλείας, ἡ καλλίνικος πάντας ἀγείρει, τὸν Χριστὸν ὡς Λόγον, ὑμνεῖν εἰς τοὺς αἰῶνας.

Ὁμολογοῦσα, Τριαδικὴν Μοναρχίαν, ἐν Σιὼν σαββατίζει ἡ Μάρτυς, ἀνυμνολογοῦσα, Αὐτὴν εἰς τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Δεδοξασμένη, ἐκ γηγενῶν ἡ Παρθένος, δευτερεῖα Τριάδος κατέχει, ἧς τὴν θείαν δόξαν, ὑμνεῖ εἰς τοὺς αἰῶνας.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ἡδέως ἀπηρνήθη, ἡ Μάρτυς τὸν κόσμον, καὶ τῆς νέοτητος ἄνθος καὶ δόξαν ἐν γῇ, ἵνα ἐν δώμασι θείοις, χαίρῃ σὺν Μάρτυσιν.

Μετάδος μοι τὸν ζῆλον, τῆς ὁμολογίας, καὶ μαρτυρίου τὸν πόθον πρὸς δόξαν Θεοῦ, σαῖς ἱκεσίαις πρὸς Λόγον, Μάρτυς πανένδοξε.

Ὁμότροπον τοῦ Παύλου, σὲ ὁμολογοῦμεν, καὶ μιμητὴν θεοφόρε Χριστοῦ Ἀθλητῶν, καὶ Πρωτοτόκων Μαρτύρων, πιστὸν ἀντίτυπον.

*Θεοτοκίον.*

Ὑμνήσωμεν Μαρίαν, Λόγου τὴν Μητέρα, καὶ τῶν πιστῶν προστασίαν καὶ σκέπην σεπτήν, τῶν Ἀσωμάτων τὴν δόξαν, καὶ τὸ ἐντρύφημα.

***Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.***

Τὴν Σεβαστιανὴν λαμπρῶς, ἐν ὕμνοις μεγαλύνωμεν, Λόγον γὰρ Κύριον πάντων, ἐκήρυξε θεαρέστως, πλάνην τῆς ἀθεότητος, μαρτυρίῳ ἀνέτρεψε, τύραννον δὲ κατήσχυνεν, ἐν πλήθει θείων σημείων, δυνάμει τοῦ Θεανθρώπου.

*Θεοτοκίον.*

Μαρίαν τὴν Θεόνυμφον, τὴν τέξασαν τὸν Κύριον, πάντες ἐκ πόθου τιμῶμεν, ζωῆς γὰρ γέγονε Μήτηρ, Τράπεζα ἄρτον φέρουσα, λυχνία ἡ φωτίζουσα, σκέπη δὲ κατασκέπουσα, πιστῶν Χριστοῦ τὰς καρδίας, ὑπάρχει ἡ Θεοτόκος.

***Αἶνοι. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.***

Δεῦτε, φιλομάρτυρες, πνευματικῶς εὐφρανθῶμεν, ἀνυμνοῦντες ἅπαντες, Σεβαστιανὴν σεπτὴν καλλιμάρτυρα, ἐν Χριστῷ γέγονεν, εὐσεβείας θῦμα, καὶ τοῦ Παύλου ἐμιμήσατο, ζωὴν πανάρετον, καὶ ὁμολογίαν πανθαύμαστον, διδάσκουσα ἐν θαύμασι, καὶ μαρτυρικοῖς ἀγωνίσμασι, πάντας τοὺς τιμῶντας, τὸν βίον καὶ τὴν ἄθλησιν αὐτῆς, καὶ μαρτυρίου τελείωσιν, καὶ στέψιν οὐράνιον. *(Δίς)*

Παύλου τὴν μαθήτριαν, ἐπευφημήσωμεν ὕμνοις, καὶ Χριστοῦ τὴν Μάρτυρα, Σεβαστιανὴν λαμπρῶς ἐπαινέσωμεν, ἀρετῆς γέγονε, ἱερὸν δοχεῖον, καὶ διδάσκαλος πανάριστος, ζωῆς τῆς κρείττονος, καὶ ὁμολογίας τὸ πρότυπον· διὸ καὶ ὁ Θεάνθρωπος, ἐν τοῖς αἰκισμοῖς ἐθαυμάστωσεν· ὅθεν γεγηθότες, βοήσωμεν αὐτῇ πανευλαβῶς· ὑπὲρ ἡμῶν καθικέτευε, λιταῖς σου πρὸς Κύριον.

Χάριτι ἐκνίκησας, τὴν ἀπειλὴν τῆς καμίνου, καὶ θηρῶν ὠμότητα, Σεβαστιανὴ Χριστοῦ ἀφομοίωμα, τοῖς πιστοῖς ἔδειξας, του Θεοῦ τὴν χάριν, καὶ ἀπίστοις ἐναπέδειξας, Σταυροῦ τὴν δύναμιν, καὶ τοῦ Ἰησοῦ τὴν θεότητα· διὸ εἰς τὰ οὐράνια, ὑπερθαυμαστῶς εἰσελήλυθας· ὅθεν ὑπὲρ πάντων, Τριάδα καθικέτευε σεμνή, ἵνα ἐν ἔργοις τιμήσωμεν, Χριστοῦ θεῖον Ὄνομα.

*Δόξα. Ἦχος πλ. δ΄.*

Δεῦτε πιστοί, ἐν κυμβάλοις δαυϊτικοῖς, τὴν κλεινὴν Μάρτυρα Σεβαστιανὴν εὐφημήσωμεν. Δεῦτε ἐν πνεύματι, εἰς τὴν ἄνω Σιὼν ἀναβοῶμεν καὶ ἀκούσωμεν τὶ περὶ τῶν Ἁγίων Μαρτύρων, τῶνν περιβεβλημένων τὰς λευκὰς στολὰς λέγεται· Οὐ πεινάσουσιν ἔτι, οὐδὲ διψήσουσιν ἔτι, οὐδ’ οὐ μὴ πέσῃ ἐπ’ αὐτοὺς ὁ ἥλιος, καὶ πᾶν καῦμα. Ὅτι τὸ Ἀρνίον, τὸ ἀνὰ μέσον τοῦ θρόνου, ποιμαίνει αὐτούς, καὶ ὁδηγήσει αὐτοὺς ἐπὶ ζωῆς πηγὰς ὑδάτων, καὶ ἐξαλείψει ὁ Θεός, πᾶν δάκρυον ἐκ τῶν ὀφθαλμῶν αὐτῶν. Λιταῖς Κύριε τῆς Μάρτυρός Σου, καὶ ἡμᾶς καταξίωσον, εἰσελθεῖν εἰς τὴν Βασιλείαν Σου.

*Καὶ νῦν. Θεοτοκίον*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Δοξολογία Μεγάλη καὶ ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Χαίροις τῶν Μαρτύρων ἡ καλλονή, μαθήτρια Παύλου, ἀληθὴς Σεβαστιανή, χαίροις εὐσεβείας, διδάσκαλος καὶ τύπος, πιστῶν τῆς Ἐκκλησίας, μέγα προπύργιον.